37. *Λάκων ἐρωτηθεὶς τί ἐπίσταται, εἶπεν ‘ἐλεύθερος εἶναι.’*

38. *Παῖς Σπαρτιάτης αἰχμαλωτισθεὶς ὑπ’ Ἀντιγόνου τοῦ βασιλέως καὶ πραθεὶς τὰ μὲν ἄλλα πάντα ὑπήκοος ἦν τῷ πριαμένῳ, ὅσα ᾤετο προσήκειν ἐλευθέρῳ ποιεῖν·* C *ὡς δὲ προσέταξεν ἀμίδα κομίζειν, οὐκ ἠνέσχετο εἰπών ‘οὐ δουλεύσω.’ ἐνισταμένου δ’ ἐκείνου, ἀναβὰς ἐπὶ τὸν κέραμον καὶ εἰπών ‘† εἴση τῆς ὠνῆς’ ἔβαλεν ἑαυτὸν κάτω καὶ ἐτελεύτα.*

39. *Ἕτερος πωλούμενος, εἰπόντος τινός ‘ἐὰν ἀγοράσω σε, χρήσιμος ἔσῃ;’ ‘κἂν μὴ ἀγοράσῃς’ εἶπεν.*

40. *Ἄλλος αἰχμάλωτος πιπρασκόμενος, τοῦ κήρυκος ἐπιλέγοντος ἀνδράποδον πωλεῖν, ‘κατάρατε’ εἶπεν, ‘οὐκ ἐρεῖς αἰχμάλωτον;’*

41. *Λάκων ἐπὶ τῆς ἀσπίδος μυῖαν ἔχων ἐπίσημον καὶ ταύτην οὐ μείζω τῆς ἀληθινῆς, ὡς καταγελῶντές τινες ἔλεγον ⟨ὅτι⟩ ὑπὲρ τοῦ λανθάνειν τοῦτο πεποιήκει, ‘ἵνα* D *μὲν οὖν’ εἶπε ‘φανερὸς ὦ· οὕτω γὰρ τοῖς πολεμίοις πλησίον προσέρχομαι, ὥστε τὸ ἐπίσημον ἡλίκον ἐστὶν ὑπ’ αὐτῶν ὁρᾶσθαι.’*

42. *Ἕτερος, ἐν συμποσίῳ προσενεχθείσης λύρας, ‘οὐ Λακωνικόν’ εἶπε ‘τὸ φλυαρεῖν.’*